περὶ ὕλης·[5] περὶ ψυχῆς·[6] περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων·[7] περὶ τῆς τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας,[8] ὅσα τε κατὰ λόγον ἀπαντᾷν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον. Ἔτι τε ὅσα περὶ τῆς πρώτης[9] ἡμῶν συστάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως τύπων τε καὶ ἀληθείας,[10] καὶ διαθηκῶν, καὶ Χριστοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε καὶ παθημάτων, καὶ ἀναλύσεως, ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως σκυθρωποτέρας[11] τε καὶ ἐνδοξοτέρας. Τὸ κεφάλαιον·[12] ὅσα περὶ τῆς ἀρχικῆς καὶ μακαρίας Τριάδος ὑποληπτέον· ὅσπερ[13] δὴ καὶ κινδύνων μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις· ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθείας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ὑπολαμβάνουσι· μήτε εἰς τρεῖς ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν· ὥσπερ φυτοῦ διαστροφῆς ἐπὶ θάτερα πολὺ μετεκκλινομένης.

§ 16. Τριῶν γὰρ ὄντων[2] τῶν νῦν περὶ τὴν θεολογίαν ἀρρωστημάτων, ἀθεΐας, καὶ Ἰουδαϊσμοῦ, καὶ πολυθεΐας· ὧν τῆς μὲν Σαβέλλιος προστάτης ὁ Λίβυς ἐγένετο· τῆς δὲ Ἄρειος ὁ Ἀλεξανδρεύς· τῆς δέ, τινὲς τῶν ἄγαν παρ' ἡμῖν ὀρθοδόξων. Τίς ὁ ἐμὸς λόγος; Τῶν τριῶν ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις μένειν τῆς εὐσεβείας, καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως, ἢ συνθέσεως ὑπαχθῆναι, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένους. Φεύγει γὰρ εἶναι ὅπερ ἔστιν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα, ἢ σύνθετόν

---

Λαέρ. ἐν βίῳ Δημ. ιβ΄. — 5. Περὶ ὕλης.) Ἀμόρφου καὶ ἀκατασκευάστου, καὶ εἰδοποιηθείσης ἤδη· οὕτω γὰρ Πλάτων τὸν κόσμον δημιουργηθῆναι ἐξ ὕλης ἀνειδεοῦς καὶ ἀμόρφου αἰωνίως προϋφεστώσης, καὶ ἐν χρόνῳ εἰδοποιηθείσης· Ἀλκίν. εἰσαγ. τῶν Πλάτ. δογμ. κεφ. θ΄. καὶ Ἀριστοτέλης δέ. Μεταφυσ. Ζ΄. γ΄. — 6. Περὶ ψυχῆς.) Λογικῆς καὶ ἀλόγου. — 7. Βελτιόνων τε καὶ χειρόνων.) Ἀγγέλων δηλ. καὶ Δαιμόνων. — 8. Προνοίας.) Ὁ γὰρ Ἀριστοτέλης μέχρι σελήνης ἔστη τὰ τῆς προνοίας. Διογ. Λαέρ. ἐν βίῳ Ἀριστ. — 9. Περὶ τῆς πρώτης καὶ τλ.) Ὅπως δηλ. ἐπλάσθημεν ὑπὸ Θεοῦ· καὶ ὅπως ἡ ἀνάπλασις ἡμῶν γέγονε διὰ τοῦ βαπτίσματος ἐν Χριστῷ. — 10. Τύπων τε καὶ ἀληθείας.) Τύποι δηλ. ἦσαν τὰ τῆς παλαιᾶς γραφῆς· ἀλήθεια δὲ τὰ τῆς νέας. — 11. Σκυθρωποτέρας.) Σκυθρωποτέρα μὲν ἡ εἰς ᾅδου, ἐνδοξοτέρα δὲ ἡ τοῦ παραδείσου. — 12. Τὸ κεφάλαιον.) Τὸ ἐν γένει ἔνθα ἡ πηγὴ καὶ ῥίζα πάντων· ἡ γὰρ βάσις καὶ τὸ θεμέλιον τῆς Χριστιανικῆς πίστεως ἐστὶν τὸ τῆς ἁγίας Τριάδος δόγμα. — 13. Ὅσπερ.) Ἀντὶ Ὅπερ· Ἀττικῶς δὲ πρὸς τὸ ἐπαγόμενον κατὰ γένος.

§ 16. 2. Τριῶν γὰρ ὄντων.) Τὸ πᾶν τῶν εἰρημένων εἰς τρία συνήγαγεν, εἰς ἀθεΐαν, Ἰουδαϊσμόν, καὶ πολυθεΐαν· ὧν τῆς μὲν Σαβέλλιος προστάτης, εἰς μίαν ὑπόστασιν συνάγων τὴν ἁγίαν Τριάδα, οὐ μᾶλλον ἓν πάντων, ἢ μηδὲ ἓν τούτων ὁριζόμενος· σύνθετόν τινα Θεὸν ἀναπλάττων κατὰ τοὺς μύθους, ἀσεβεῖ· τῆς δὲ Ἄρειος, τέμνων τὰς φύσεις, καὶ μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφων,

ΙΩΑΝΝΙΝΑ 2006

τινα καὶ ἄτοπον ἡμῖν Θεὸν, ὥσπερ τὰ μυθώδη[3] τῶν ζώων σκιαγραφοῦντας, καὶ ἀναπλάττοντας. Μήτε τὰς φύσεις τέμνοντας κατὰ τὴν Ἀρείου[4] καλῶς ὀνομασθεῖσαν μανίαν, εἰς Ἰουδαϊκὴν πενίαν κατακλεισθῆναι, καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, ὥσπερ δεδοικότας μὴ διαφθείροιτο ἡμῖν ὁ Θεὸς, Θεοῦ πατὴρ ὢν ἀληθινοῦ καὶ ὁμοτίμου τὴν φύσιν. Μήτε τρεῖς ἀρχὰς ἀλλήλαις ἀντεπεξάγοντας, ἢ συντάσσοντας, πολυαρχίαν εἰσαγαγεῖν Ἑλληνικὴν, ἣν πεφεύγαμεν· Δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι πατέρα περιαιρεῖν· τίνος γὰρ ἂν καὶ εἴη πατὴρ, τοῦ υἱοῦ τὴν φύσιν κεχωρισμένου καὶ ἀπεξενωμένου μετὰ τῆς κτίσεως; οὐ γὰρ τοῦτο υἱὸς, τὸ ἀλλότριον· ἢ συναλοιφομένου πρὸς τὸν πατέρα, καὶ συγχεομένου· ἴσον δὲ εἰπεῖν, καὶ συγχέοντος; Μήτε τοσοῦτον φιλοχρίστους, ὡς μήτε τούτῳ[5] φυλάττειν τὸ εἶναι υἱῷ· τίνος γὰρ ἂν καὶ εἴη,[6] μὴ πρὸς ἀρχὴν ἀναφερόμενος τὸν πατέρα; μήτε τῷ πατρὶ[7] τὸ τῆς ἀρχῆς ἀξίωμα, τῆς ὡς πατρὶ καὶ γεννήτορι· μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ· μᾶλλον δὲ μικρῶς τε καὶ ἀναξίως, μὴ θεότητος ὢν ἀρχὴ καὶ ἀγαθότητος, τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης· τῷ μὲν[8] ὡς υἱῷ καὶ λόγῳ, τῷ δὲ ὡς προόδῳ καὶ οὐ διαλύτῳ πνεύματι. Ἐπειδή γε ἀναγκαῖον καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος.[9]

§ 17. Ταῦτ᾽ οὖν[2] μακροτέρου μὲν ἢ κατὰ τὸν παρόντα καιρὸν, οἶμαι δὲ, καὶ βίον, τοῦ λόγου, καὶ νοῆσαι καὶ παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον. Μᾶλλον δὲ καὶ νῦν καὶ ἀεὶ τοῦ πνεύματος,[3]

---

εἰς τὴν Ἰουδαϊκὴν κατακλείων καὶ αὐτὸς πενίαν· τῆς δὲ τῶν παρ᾽ ἡμῖν ἄγαν φησὶν ὀρθοδόξων, τρεῖς ἀρχὰς ἀντεπεξάγοντες Πατρὸς, Υἱοῦ, καὶ Πνεύματος, εἰς Ἑλληνικὴν πολυθεΐαν καταντῶντες. Βασίλ. Σχολιαστ. — 3. Τὰ μυθώδη.) Τὸν γὰρ Γηρυόνην Ἕλληνες λέγουσι τριῶν ἔχειν ἀνδρῶν συμφυὲς σῶμα συνημμένον εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον τε εἰς τρεῖς ἀπὸ τῶν λαγόνων τε καὶ μηρῶν· Ἀπολλοδ. Β΄. καὶ ἄλλα τοιαῦτα. — 4. Κατὰ τὴν Ἀρείου.) Ἔλεγε γὰρ, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἦν κτίσμα, ἐκ τοῦ μὴ ὄντος δημιουργηθὲν, ὑποκείμενον ἀρετῇ καὶ κακίᾳ, καὶ ὅτι οὐκ ἦν ἀληθῶς Θεὸς, ἀλλὰ κατὰ μετοχὴν, καθάπερ τὰ λοιπὰ κτίσματα, οἷς τὸ ὄνομα τῆς θεότητος δίδοται· ὡμολόγει δὲ ὅτι πρὸ τῶν αἰώνων ὑπῆρχεν, ἀλλ᾽ οὐκ ἦν συναΐδιος τῷ Θεῷ. — 5. Ὡς μήτε τούτῳ.) Τῷ Χριστῷ δηλ. Οἷον· ὥστε μήτε τῷ Χριστῷ φυλάττειν τοῦτο, εἶναι αὐτῷ υἱῷ καὶ ἔστι τὸ ἐκ τρίτου τοῦ ὑπαρκτικοῦ ὁμοιόπτωτον τῷ ἐκ πρώτου. — 6. Καὶ εἴη.) Υἱὸς δηλ. — 7. Μήτε τῷ πατρί.) Ἀπὸ κοινοῦ τὸ Ὥστε φυλάττειν· οἷον ὥστε μήτε τῷ υἱῷ φυλάττειν τὸ εἶναι υἱὸν, μήτε τῷ πατρὶ φυλάττειν τὸ τῆς ἀρχῆς ἀξίωμα τῆς ὡς πατρ. καὶ τλ. — 8. Τῷ μέν.) Τῷ υἱῷ δηλ. ὡς υἱῷ καὶ λόγῳ, ἐν δὲ τῷ πνεύματι, ὡς προόδ. καὶ τλ. — 9. Μετὰ τῆς ἰδιότητος.) Ἰδιότης δὲ Πατρὸς μὲν τὸ γεννᾶν καὶ ἐκπορεύειν· Υἱοῦ δὲ τὸ ἐκ Πατρὸς γεννᾶσθαι· Πνεύματος δὲ τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι.

§ 17. 2. Ταῦτ᾽ οὖν) Ἡ σύνταξις Ταῦτα οὖν καὶ νοῆσαι καὶ παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον, ἐστὶν ἴδιον λόγου μακροτέρου ἢ κατὰ τὸν παρόντα καιρὸν, οἶμαι δὲ καὶ βίον. — 3. Τοῦ πνεύματος.) Ἀπὸ κοινοῦ. Τὸ νοῆσαι καὶ

ᾧ μόνῳ Θεὸς καὶ νοεῖται καὶ ἑρμηνεύεται, καὶ ἀκούεται· καθαρῷ γὰρ μόνον ἁπτέον τοῦ καθαροῦ καὶ ὡσαύτως ἔχοντος.

§ 18. Οὗ δὲ εἵνεκα νῦν ἐν ὀλίγῳ διεληλύθαμεν,[2] ἵν' ἐκεῖνο δηλώσωμεν. Ὅτι χαλεπὸν[3] ἐν πλήθει μάλιστα περὶ τηλικούτων διαλεγόμενον, ἐκ παντοδαπῆς συγκειμένῳ καὶ ἡλικίας καὶ ἕξεως, οἷον ὀργάνῳ τινὶ πολυχόρδῳ, διαφόρων δεομένῳ καὶ τῶν κρουσμάτων εὑρεῖν τινα τὸν πάντας καταρτίσαι δυνάμενον λόγον, καὶ λαμπρῦναι τῷ φωτὶ τῆς γνώσεως. Οὐ μόνον ὅτι ἐν τρισὶ τούτοις[4] τοῦ κινδύνου σαλεύοντος, διανοίᾳ, καὶ λόγῳ, καὶ ἀκοῇ, ἀναγκαῖον περὶ ἕν γε τι τούτων, εἰ καὶ μὴ πάντα, προσπταῖσαι. Ἢ γὰρ οὐκ ἐνελάμφθη νοῦς, ἢ ὁ λόγος ἠσθένησεν, ἢ οὐκ ἐχώρησεν ἀκοὴ μὴ κεκαθαρμένη, καὶ ὁμοίως ἐξ ἑνὸς τούτων, καὶ πάντων[5] χωλεύειν ἀνάγκη τὴν ἀλήθειαν. Ἀλλ' ὅτι καὶ ὃ τοῖς ἄλλο τι διδάσκειν ὑπισχνουμένοις ῥᾷστον ποιεῖ τὸν λόγον, καὶ εὐπαράδεκτον, ἡ τῶν ἀκουόντων εὐλάβεια,[6] τοῦτο ἐνταῦθα ἡ ζημία καθίσταται καὶ ὁ κίνδυνος. Ὡς γὰρ περὶ Θεοῦ καὶ τοῦ μεγίστου τῶν ὄντων ἔχοντες τὸν ἀγῶνα, καὶ τῆς σωτηρίας αὐτῆς, καὶ τῆς πρώτης πᾶσιν ἐλπίδος, ὅσῳ τὴν πίστιν εἰσὶ θερμότεροι, τοσούτῳ προσαντέστεροι τῷ λόγῳ. Καὶ προδοσίαν τῆς ἀληθείας, οὐκ εὐσέβειαν τὴν εὐπείθειαν ὑπολαμβάνοντες, πάντα πρόοιντο ἂν πρότερον, ἢ τοὺς οἴκοθεν λογισμούς, μεθ' ὧν ἔρχονται, καὶ τῶν δογμάτων, οἷς συνανετράφησαν, τὴν συνήθειαν.

§ 19. Καὶ τοῦτο ἔτι λέγω τῶν μετριωτέρων καὶ οὐ πάντῃ κακῶν τὸ πάθος,[2] οἳ κἂν τῆς ἀληθείας διαμαρτάνωσιν, ἀλλὰ τῷ γε δι' εὐλάβειαν τοῦτο πάσχειν, καὶ ζῆλον μὲν ἔχειν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, τυχὸν ἔσονται τῶν οὐ σφόδρα κατακρινομένων, οὐδὲ πολλὰς δερομένων,[3] ὡς οἱ διὰ κακίαν καὶ πονηρίαν, τοῦ δεσποτικοῦ θελήματος ἀποπίπτοντες. Καὶ τάχα ἂν οὗτοι μεταπεισθεῖεν ποτὲ καὶ μεταβληθεῖεν ὑπὸ τῆς αὐτῆς εὐλαβείας, ὑφ' ἧς καὶ ἀντέβαινον, εἴτις αὐτῶν ἅψαιτο λόγος, ἢ οἴκοθεν, ἢ ἔξωθεν κρούσας καιρίως, ὥσπερ σίδηρος πυρίτην λίθον, τὴν ἐγκύμονα καὶ ἀξίαν φωτὸς διάνοιαν, ἐν ᾗ καὶ τάχιστα ἂν ἐκ σμικροῦ σπινθῆρος ὁ

---

παραστῆσαι ταῦτα ἱκανῶς τε καὶ ὅσον ἄξιον, ἐστὶν ἴδιον τοῦ πνεύματος, ᾧ καὶ τλ.

§ 18. 2. Διεληλύθαμεν.) Περὶ τῆς μακαρίας Τριάδος. — 3. Ὅτι χαλεπόν.) Ἐπεξήγησις τοῦ, ἐκεῖνο. — 4. Ἐν τρισὶ τούτοις.) Χαλεπὸν ἐν πλήθει περὶ τηλικούτων διαλέγεσθαι, ἐν τρισὶ τούτοις τοῦ κινδύνου ἠρτημένου. διανοίᾳ, λόγῳ τε καὶ ἀκοῇ· καὶ τὰ ἑξῆς ἀποδοτέα πρὸς ἕκαστον. — 5. Καὶ πάντων.) Καὶ ἐκ πάντων δηλ. — 6. Ἡ τῶν ἀκουόντων εὐλάβεια.) Δηλαδὴ ἡ τῶν ἀκ. εὐλάβ. αὕτη γάρ ἐστιν ἡ ποιοῦσα τὸν λόγον ῥᾷστον τοῖς ὑπισχνουμένοις διδάσκειν ἄλλο τι.

§ 19. 2. Τὸ πάθος.) Τῶν τοιούτων, ὅσοι ἐξ εὐλαβείας ταῦτα πάσχουσιν, οἳ κἂν καὶ τλ. — 3. Οὐδὲ πολλὰς δερομένων.) Ὥσπερ ὁ Κύριος ἐν Εὐαγγελίοις λέγει. Ὁ γνοὺς, καὶ ποιήσας, πολλὰς δαρήσεται ὁ

ΙΩΑΝΝΙΝΑ 2006

τῆς ἀληθείας πυρσὸς ἐκλάμψειε. Τί δ' ἂν εἴποι τις περὶ τῶν διὰ κενοδοξίαν ἢ φιλαρχίαν, ἀδικίαν εἰς τὸ ὕψος[4] λαλούντων, Ἰαννοῦ τινος,[5] ἢ Ἰαμβροῦ μεγαληγορίας, οὐ κατὰ Μωϋσέως, τῆς δὲ ἀληθείας, ὁπλιζομένων, καὶ τῆς ὑγιαινούσης κατ' ἐξανισταμένων διδασκαλίας; Ἢ τῆς τρίτης[6] μοίρας, τῶν δι' ἀπαιδευσίαν καὶ τὴν ἑπομένην ταύτῃ θρασύτητα, ὁμόσε παντὶ λόγῳ χωρούντων συώδει πάθει, καὶ καταπατούντων[7] τοὺς καλοὺς μαργαρίτας τῆς ἀληθείας; Ἢ ὅσοι[8] μηδεμίαν μὲν οἴκοθεν ὑπόληψιν φέροντες, μηδέ τινα τύπον τῶν περὶ Θεοῦ λόγων ἢ χείρονα ἢ βελτίονα, πᾶσι δὲ ὑποτιθέντες ἑαυτοὺς λόγοις καὶ διδασκάλοις, ὡς ἐξ ἁπάντων ἐκλεξάμενοι τὸ κρεῖττον καὶ ἀσφαλέστερον, καὶ κριταῖς οὐ καλοῖς τῆς ἀληθείας σφίσιν αὐτοῖς πιστεύσαντες. Ἔπειτα ὑπὸ τῆς πιθανότητος ἄλλοτε ἄλλης περιφερόμενοι καὶ στρεφόμενοι, καὶ παντὶ λόγῳ καταπλυθέντες καὶ πατηθέντες, πολλοὺς ἀμείψαντες διδασκάλους, καὶ πολλὰ γράμματα, ὥσπερ χοῦν ἀνέμοις ῥᾳδίως ὑποβαλόντες, τέλος ἀποκαμόντες καὶ ἀκοὴν καὶ διάνοιαν, ὢ τῆς ἀλογίας! πρὸς πάντα λόγον ὁμοίως δυσχεραίνουσι, καὶ μοχθηρὸν τύπον ἑαυτοῖς ἐγγράφουσιν αὐτῆς,[9] καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν, ὡς ἀστάτου καὶ οὐδὲν ὑγιὲς ἐχούσης τῆς πίστεως, μεταβαίνοντες ἀπαιδεύτως ἀπὸ τῶν λεγόντων ἐπὶ τὸν λόγον.[10] Ὥσπερ ἂν εἴτις[11] τοὺς ὀφθαλμοὺς κακῶς διακείμενος, ἢ τὰ ὦτα διεφθαρμένος, κατηγοροίη τοῦ ἡλίου, ἢ τῶν φωνῶν· τοῦ μέν, ὡς ἀμαυροῦ καὶ οὐ στίλβοντος· τῶν δέ, ὡς ἐκμελῶν καὶ ἀτόνων. Καὶ διὰ τοῦτο ῥᾷον ἄρτι καινοτομεῖν[12] ἀλήθειαν ψυχῇ, ὥσπερ κηρὸν οὔπω κεχαραγμένον· ἢ γράφειν κατὰ γραμμάτων, πονηρῶν λέγω διδαγμάτων τε καὶ δογμάτων, εὐσεβῆ λόγον, ὡς συγχεῖσθαι καὶ ἀτακτεῖν τοῖς προτέροις τὰ δεύτερα. Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν, καὶ γῆν ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔτεμε καὶ ἡμέρωσε· ψυχὴν δὲ γράφειν,[13]

---

δὲ μὴ γνούς, καὶ ποιήσας, ὀλίγας Λουκ. ιβ'. 47. 48. — 4. Ἀδικίαν εἰς τὸ ὕψος.) Ψαλ. οβ'. 8. — 5. Ἰαννοῦ τινος.) Ἰαννῆς καὶ Ἰαμβρῆς οἱ δύο Αἰγύπτιοι μάγοι, ὧν μέμνηται Παῦλος ἐν τῇ πρὸς Τιμόθ. β'. γ'. 8. εἰκαστικῶς ἐκ τῶν βιβλίων τῶν Ῥαββίνων· τὰ γὰρ ὀνόματα ταῦτα οὐδαμοῦ ἐστὶν εὑρεῖν ἐν τῇ παλαιᾷ γραφῇ. — 6. Ἢ τῆς τρίτης.) Ἢ περὶ τῆς τρίτης μοίρας, δηλ. περὶ τῶν δι' ἀπαιδευσίαν καὶ τλ. ἀπὸ κοινοῦ γὰρ τὸ Τί τὶς ἂν εἴποι. — 7. Καταπατούντων.) Ἐκ τοῦ Εὐαγελ. Ματθ. ζ'. 6. — 8. Ἢ ὅσοι.) Ἢ περὶ ἐκείνων, ὅσοι· ἀπὸ κοινοῦ γὰρ τό, Τί τὶς ἂν εἴποι. — 9. Αὐτῆς.) Τῆς πίστεως δηλ. ὡς ἐκ τοῦ ἑξῆς δῆλον. — 10. Ἀπὸ τῶν λεγόντων ἐπὶ τὸν λόγον.) Ἐπειδὴ γὰρ οἱ λέγοντες ἄστατοί εἰσι καὶ παρεκτρέπουσι τούτων πολλοὶ τὸν λόγον τῆς ἀληθείας κατὰ τὰς ἰδίας αὐτῶν φρενοβλαβείας, οἴονται ὅτι καὶ ὁ λόγος, αὐτὴ δηλ. ἡ τῆς πίστεως ἀλήθεια, τοιαύτη ἐστί. — 11. Ὥσπερ ἂν εἴτις.) Καὶ ποιοῦσιν ὥσπερ καὶ τλ. — 12. Ἄρτι καινοτομεῖν.) Ἐν τῇ μή πω δεξαμένῃ ψυχῇ τῆς τῶν δογμάτων ἀληθείας τὴν ὑφήγησιν καινοτομεῖν ῥᾷόν ἐστιν ἢ γράφειν κατὰ πονηρῶν δογμάτων εὐσεβῆ λόγον· ὥστε τὸν εὐσεβῆ λόγον συγχεῖσθαι τοῖς πονηροῖς δόγμασι. — 13. Ψυχὴν δὲ γράφειν.) Ἀπὸ κοινοῦ τὸ ἄμεινον.

ΙΩΑΝΝΙΝΑ 2006

ἣν οὔπω λόγος ἐχάραξε μοχθηρὸς, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας ἐνεσημάνθη γράμματα. Δύο γὰρ ἂν οὕτω τὰ ἔργα γένοιτο τῷ θεοσεβεῖ καλλιγράφῳ, ἐξαλείφειν τε τοὺς προτέρους τύπους, καὶ μεταγράφειν τοὺς δοκιμωτέρους τε καὶ τοῦ μένειν ἀξιωτέρους.

§ 20. Τοσοῦτοι μὲν δὴ καὶ κατὰ τὰ λοιπὰ πάθη, κατὰ τὸν λόγον αὐτὸν, οἱ πονηροὶ τύποι καὶ χαρακτῆρες! Τοσοῦτον δὲ τὸ ἔργον τῷ ταύτην πεπιστευμένῳ τὴν ψυχῶν παιδαγωγίαν καὶ προστασίαν! καὶ τὰ πλείω παρῆκεν ὁ λόγος, ἵνα μὴ περιττότερος ᾖ τοῦ δέοντος. Ὥσπερ οὖν εἴτις θηρίον ἐκ πολλῶν θηρίων συγκείμενον, πολυειδὲς, καὶ πολύμορφον, μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ ἀγριωτέρων, ἄγειν ἐπιχειροίη καὶ τιθασσεύειν, πάντως ἂν ἦν ἔργον αὐτῷ,[2] καὶ οὐ μικρὸν τὸ ἀγώνισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστατεῖν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τροφαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν, οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν θηρίων χαίροντος, ἄλλων δὲ ἄλλοις ἡδομένων, ἢ ἀχθομένων, ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια. Καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστάτην; Τί δ᾽ ἄλλο γε, ἢ πολυειδῆ τε εἶναι καὶ ποικίλον τὴν ἐπιστήμην, καὶ κατάλληλον ἑκάστῳ προσάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐτῷ τὸ θηρίον, καὶ διασώζοιτο. Οὕτως ἐκ πολλῶν καὶ διαφόρων ἠθῶν, καὶ λόγων, καθάπερ ἑνὸς ζώου συνθέτου καὶ ἀνομοίου, τοῦ κοινοῦ τούτου τῆς Ἐκκλησίας συγκειμένου σώματος, πᾶσα ἀνάγκη καὶ τὸν προστάτην ἁπλοῦν τε εἶναι τὸν αὐτὸν κατὰ τὴν ἐν πᾶσιν ὀρθότητα, καὶ ὅτι μάλιστα παντοδαπὸν καὶ ποικίλον, κατὰ τὴν πρὸς ἕκαστον οἰκείωσιν, καὶ τὸ τῆς ὁμιλίας πρὸς πάντας ἐπιτήδειόν τε καὶ πρόσφορον. Οἱ μὲν γὰρ δέονται γάλακτι τρέφεσθαι, τοῖς ἁπλουστέροις[3] καὶ στοιχειωδεστέροις τῶν δογμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς, ὡς ἂν εἴποι τις, τὴν ἀνδρείαν τοῦ λόγου τροφὴν[4] οὐ φέροντες, ἣν εἰ προσάγοι τις παρὰ δύναμιν, τάχα ἂν καταπιεσθέντες καὶ βαρυνθέντες (οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ τῆς ὕλης, τὸ ἐπεισελθὸν ἑλκῦσαι καὶ οἰκειώσασθαι) ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. Οἱ δὲ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρήζοντες, καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στεῤῥοτέρας, τῷ πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψεύδους ἱκανῶς γεγυμνάσθαι[5] τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο, καὶ τρέφοιντο λαχάνοις, ἀσθενῶν βρώματι, δυσχεραίνειεν ἂν· καὶ μά-

---

§ 20. 2. Ἔργον αὐτῷ.) Δυσχερὲς δηλ. ἦν αὐτῷ· τὸ τοιοῦτον θηρίον τιθασσεύειν —3. Τοῖς ἁπλουστέροις.) Ἐπεξήγησις τοῦ ἀλληγορηθέντος γάλακτος. —4. Τὴν ἀνδρείαν . . . τροφήν.) Τὴν ἀνδράσι προσήκουσαν. — 5. Τῷ πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψεύδους ἱκανῶς γεγυμνάσθαι.) Ἐν τῷ γεγυμνάσθαι ἐπειδὴ

λα εἰκότως· οὐ δυναμούμενοι κατὰ Χριστὸν οὐ δὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν, ἣν ἐργάζεται λόγος τελειῶν εἰς ἄνδρας καὶ εἰς μέτρον ἡλικίας[6] ἄγων πνευματικῆς τὸν καλῶς τρεφόμενον.

§ 21. Πρὸς ταῦτα τίς ἱκανός; Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοί, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνῦναι τὸν οἶνον ὕδατι,[2] τὸν εὐφραίνοντα[3] καρδίαν ἀνθρώπου λόγον τῷ πολλῷ καὶ εὐώνῳ, καὶ χαμαὶ συρομένῳ, καὶ ἐξιτήλῳ, καὶ εἰκῆ ῥέοντι. Ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας, ἄλλοτε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι, καὶ πᾶσι πρὸς χάριν, ἐγγαστρίμυθοί[4] τινες ὄντες καὶ κενολόγοι, τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδοκιμοῖεν παρὰ τοῖς πολλοῖς, ὅτι μάλιστα ζημιοῦντες ἑαυτοὺς ἢ ἀπολύντες, καὶ αἷμα ἀθῶον[5] ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητησόμενον. Ἀλλ᾽ εἰδότες,[6] ἑτέροις βέλτιον εἶναι τὰς ἑαυτῶν ἡνίας, ἐνδιδόναι τεχνικωτέροις, ἢ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας, καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον. Ταῦτα διαλεχθέντες ἡμῖν αὐτοῖς, καὶ ἴσως οὐ φαύλοις συμβούλοις,[7] εἰ δὲ μή γε, ἀλλ᾽ οὖν εὔνοις, καὶ τὰ ῥητέα, καὶ τὰ πρακτέα[8] μαθεῖν οὐκ εἰδότες μᾶλλον, ἢ διδάσκειν ἀγνοοῦντες, ἐδοκιμάσαμεν. Ἀγαπητὸν[9] γὰρ ὅτῳ, κἂν εἰς βαθὺ γῆρας λόγος ἀφίκοιτο πολιὸς, καὶ ὠφελῆσαι νέαν ἐν εὐσεβείᾳ ψυχὴν δυνάμενος. Ὡς τό γε παιδεύειν ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ[10] τὴν κεραμίαν μανθάνειν, τὸ δὴ λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾷν τὴν εὐσέβειαν, λίαν εἶναί μοι φαίνεται ἀνοήτων, ἢ

---

δηλ. ἐγυμνάσθησαν. — 6. Εἰς μέτρον ἡλικίας.) Ἀποστολικὸν δὲ τοῦτο. Παῦλ. Ἐφεσ. δ΄. 13.

§ 21. 2. Τὸν οἶνον ὕδατι.) Ἡσαΐ. ά. 22. Ἀλληγορεῖ δὲ τὸν τῆς ἀληθείας ἐν πνεύματι εὐφραίνοντα καρδίαν ἀνθρώπου λόγον τῷ οἴνῳ· τῷ δ᾽ ὕδατι, τὸ χαμαὶ συρόμενον, καὶ πατούμενον, καὶ εἰκῆ ῥέον τῶν δογμάτων. — 3. Τὸν εὐφραίνοντα.) Ἀπὸ τοῦ Δαβὶδ παρεμορφώθη ἡ φράσις λέγοντος· ψαλμ. ρέ. 15. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. — 4. Ἐγγαστρίμυθοι.) Εἰσὶ γάρ τινες γυναῖκες, κεκλεισμένου τοῦ στόματος φθεγγόμεναι, καὶ δοκοῦσαι ἀπὸ γαστρὸς λαλεῖν· αἵτινες καὶ προλέγειν ὑπισχνούμεναι τὰ μέλλοντα, λέγουσι πρὸς ἕκαστον, ὅσα δοκοῦσι χαρίζεσθαι αὐτοῖς. Βασ. Α΄. κή. — 5. Καὶ αἷμα ἀθῶον.) Παῦλ. Ῥωμ. γ΄. 15. Ἰεζεκ. γ΄. 18. — 6. Ἀλλ᾽ εἰδότες.) Ὁ Ἀλλὰ θετικὸς πρὸς τὸ Οὐ γὰρ ἐσμὲν ἀναφερόμενος· ἔχει δὲ ἐννοούμενον ἀπὸ κοινοῦ τὸ Ἐσμέν ἵν᾽ ᾖ. Ἀλλ᾽ ἐσμὲν εἰδότες· ἀντὶ Ἀλλ᾽ ἴσμεν. — 7. Ἴσως οὐ φαύλοις συμβούλοις.) Διορθοῦται τὸν ἔπαινον· τῷ δ᾽ οὐ φαύλῳ τὸ φίλαυτον αἰτιώμενος· εὐνοϊκῶς γὰρ ἕκαστος ἔχει πρὸς ἑαυτόν. — 8. Τὰ ῥητέα, καὶ τὰ πρακτέα.) Ὅσα δεῖ λέγειν, καὶ ὅσα δεῖ πράττειν δηλ. Ἡ σύνταξις· καὶ ἐδοκιμάσαμεν οὐκ εἰδότες μαθεῖν ὅσα δεῖ λέγειν καὶ πράττειν μᾶλλον, ἢ ἀγνοοῦντες διδάσκειν αὐτά. — 9. Ἀγαπητόν.) Ὥ τινι κἂν εἰς βαθὺ γῆρας ὁ λόγος ἀφίκοιτο πρέπον πεπολιωμένῳ ἀνδρί. — 10. Ἐν πίθῳ.) Παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων· ὡς εἴτις μανθάνων κεραμεύειν πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν

τολμηρῶν.[11] Ἀσυνέτων μὲν, εἰ μηδὲ αἰσθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας· θρασέων δὲ, εἰ καὶ συνιέντες, κατατολμοῦσι τοῦ πράγματος.

§ 22. Ἑβραίων μὲν οὖν οἱ σοφώτεροι λέγουσιν, ὡς ἄρα ἦν τις πάλαι νόμος Ἑβραίοις, ἐν τοῖς μάλιστα εὖ ἔχων,[2] καὶ ἐπαινούμενος, μὴ πᾶσαν ἡλικίαν πάσῃ γραφῇ ἐνδίδοσθαι. Μηδὲ γὰρ[3] εἶναι τοῦτο λυσιτελέστερον, ὅτι μηδὲ πᾶσαν εὐθέως εἶναι παντὶ ληπτὴν, καὶ τὰ μέγιστα ἂν τοὺς πολλοὺς κακῶσαι τῷ φαινομένῳ[4] τὴν βαθυτέραν. Ἀλλὰ τὰς μὲν ἀπ᾽ ἀρχῆς ἀνεῖσθαι πᾶσι καὶ εἶναι κοινὰς, ὧν καὶ τὸ σωματικὸν οὐκ ἀδόκιμον· τὰς δὲ μὴ ἄλλοις, ἢ τοῖς ὑπὲρ εἰκοστὸν καὶ πέμπτον γεγονόσιν ἔτος, πιστεύεσθαι· ὅσαι δι᾽ ἐντελοῦς τοῦ ἐνδύματος τὸ μυστικὸν κάλλος περικαλύπτουσιν· ἆθλον[5] φιλοπονίας καὶ λαμπροῦ βίου, μόνοις τοῖς κεκαθαρμένοις τὸν νοῦν ὑπαστράπτον, καὶ φανταζόμεννον, ὡς μόνης δυναμένης τῆς ἡλικίας ταύτης[6] ὑπὲρ τὸ σῶμα γενέσθαι, καὶ ἀναβῆναι καλῶς ἐπὶ τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος. Ἡμῖν δὲ οὐδεὶς ὅρος τοῦ παιδεύειν καὶ τοῦ παιδεύεσθαι, ὥσπερ οἱ λίθοι, πάλαι[7] ταῖς ὑπὲρ τὸν Ἰορδάνην καὶ ταῖς ἐντὸς Ἰορδάνου φυλαῖς· οὐδὲ τισὶ μὲν ἐκεῖνο, τισὶ δὲ τοῦτο ἐπιτρεπτέον· οὐδέ τις κανὼν τῶν ἕξεω· ἀλλ᾽ οὕτω τὸ πρᾶγμα ἔῤῥιπται, καὶ συγκέχυται, καὶ οὕτω κακῶς διακείμεθα· ὥστε οἱ πλείους ἡμῶν, ἵνα μὴ λέγω πάντες, πρὶν ἀποθέσθαι σχεδὸν τὴν πρώτην τρίχα,[8] καὶ τὸ τὰ παιδικὰ ψελλίζεσθαι, πρὶν παρελθεῖν εἰς τὰς θείας αὐλὰς, πρὶν τῶν ἱερῶν βιβλίων γνῶναι καὶ τὰ ὀνόματα, πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι, καὶ τοὺς προστάτας·[9] οὔπω γὰρ λέγω πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι, καὶ τὰ τῆς ψυχῆς αἴσχη, ὅσα ἡ κακία ἡμῖν προσεμάξατο· ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν, καὶ ταῦτα ἐξ ἀκοῆς, οὐκ ἐντεύξεως, ἢ τῷ Δαβὶδ βραχέα

---

πλάττειν, πίθῳ ἐγχειρεῖ. — 11. φαίνεται ἀνοήτων, ἢ τολμηρῶν.) Ἀντὶ Καὶ ἀνοήτων καὶ τολμηρῶν ὡς ἐκ τῆς ἐπεξηγήσεως λέγει γάρ· Ἀσυνέτων μὲν καὶ τλ.

§ 22. 2. Ἐν τοῖς μάλιστα εὖ ἔχων.) Τοῦτο κεῖται ἀντὶ ὑπερθετικοῦ τινος ὀνόματος. — 3. Μηδὲ γάρ.) Ἐννοεῖται Λέγουσι. — 4. Τῷ φαινομένῳ.) Τῆς γραφῆς δηλ. ἥτις βαθυτέρα καὶ ὑπὲρ τοὺς πολλοὺς οὖσα, κακίνουσα βλάπτει· οἷα δηλ. ἡ τοῦ ᾄσματος τῶν ᾀσμάτων τῷ φαινομένῳ αἰσχρῷ· καὶ αἱ προφητικαὶ τῷ βάθει καὶ περινενοημένῳ οὐ ῥᾳδίως ὠφελήσαιεν ἄν. Σχολιαστ. Βασιλ. — 5. Ἆθλον.) Ὅπερ μυστικὸν κάλλος ἐστὶν ἆθλον καὶ τλ. — 6. Τῆς ἡλικίας ταύτης.) Τῆς ὑπὲρ εἰκοστὸν καὶ πέμπτον ἔτος. — 7. Οἱ λίθοι, πάλαι.) Μετὰ τὴν ἐξ Αἰγύπτου φυγὴν διεκρίθησαν αἱ φυλαὶ ὁρίοις λίθων, αἱ μὲν ἐντὸς Ἰορδάνου, αἱ δὲ ὑπερθεν καὶ ἐκτὸς, τοῖς πεπηγόσι λίθοις διαστελλόμεναί τε καὶ διακρινόμεναι. Ἐξοδ. λϛ΄. 10 . . . 13. ὥσπερ οὖν ἐκείναις ταῖς φυλαῖς ὅροι γεγόνασι τινὲς λίθοι, γνωρίσματα τῶν φυλῶν, ἔδει φησὶ καὶ ἡμῖν ὁρισμῶν τινῶν εἰς διάκρισιν καὶ ἡλικίας καὶ βίου καὶ παιδεύσεως, καὶ σοφίας· νῦν δ᾽ οὐδεὶς ὅρος, ἀλλὰ τοῦ τυχόντος ἡ προεδρία καὶ τιμή. — 8. Πρώτην τρίχ.) Τὴν παιδικὴν λέγει καὶ τὴν ἐκ γενέσεως πεφυκείαν. — 9. Καὶ τοὺς Προστάτας.) Τῆς παλαιᾶς γραφῆς τοὺς συγ-

ΕΡΓ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καθομιλήσωμεν, ἢ τὸ τριβώνιον[10] εὖ περιστειλώμεθα, ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν, εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιχρώσαντες.[11] Βαβαὶ τῆς προεδρίας[12] καὶ τοῦ φρονήματος! ἱερὸς καὶ ἐκ σπαργάνων ὁ Σαμουήλ.[13] εὐθὺς ἐσμὲν σοφοὶ καὶ διδάσκαλοι, καὶ ὑψηλοὶ τὰ θεῖα, καὶ γραμματέων τὰ πρῶτα καὶ νομικῶν, καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββὶ ζητοῦμεν,[14] καὶ οὐδαμοῦ τὸ γράμμα,[15] καὶ πάντα δεῖ νοηθῆναι πνευματικῶς, καὶ λῆρος πλατὺς τὰ ἐνείρατα, καὶ ἀγανακτοίημεν ἄν, εἰμὴ σφόδρα ἐπαινοίμεθα. Τοῦτο[16] ἡμῶν οἱ χρηστότεροι καὶ πλουσιώτεροι.

§ 23. Τί δὲ[2] οἱ πνευματικοὶ μᾶλλον, καὶ γενναιότεροι; Πολλὰ καταχρίναντες[3] ἡμᾶς, ἂν οὕτω δόξῃ, καὶ βασκήναντες, καὶ οὐδαμοῦ θέντες, ἀπῆλθον, καὶ τὴν κοινωνίαν ὡς οὐκ εὐσεβῶν διαπτύσαντες. Ἂν δέ τινι αὐτῶν λέγωμεν, οὑτωσὶ πράως καὶ λογικῶς προβιβάζοντες. Εἰπέ μοι,[4] ὦ θαυμάσιε, καλεῖς τι τὸ ὀρχεῖσθαι, τό τε αὐλεῖν;[5] Πάνυγε, εἴποιεν ἄν. Τί δαί; σοφίαν τε καὶ σοφὸν εἶναι, τοῦθ᾽ ὃ δὴ θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην τιθέμεθα; Καὶ τοῦτο δώσουσι. Πότερον δὲ κρεῖττον εἶναι καὶ ὑψηλότερον, ταῦτα σοφίας, ἢ τούτων μακρῷ τὴν σοφίαν; Καὶ πάντων,[6] εὖ

---

γραφεῖς λέγει, ἢ γοῦν τῶν αἱρέσεων τοὺς προστάτας. — 10. Τὸ τριβώνιον.) Τριβώνιον λέγεται πᾶν τὸ παχὺ περιβόλαιον παρὰ τὸ τρίβειν· ἢ τὸ ἀναβόλαιον ἢ μανδύαν νοητέον. Περιστέλλεσθαι δὲ τὸ κοσμίως καὶ ἐπιμελῶς περιβάλλεσθαι. — 11. Περιχρώσαντες.) Περὶ τῶν ἐσχηματισμένων ὡς σχῆμα ἐγκρατείας ἐχόντων, στιγνὸν καὶ ἀλαμπὲς μετά τινος Φιλοσόφου ἐμβριθείας περικεῖσθαι δοκούντων. — 12. Βαβαὶ τῆς προεδρίας.) Ὡς θαυμαστοὶ πρόεδροι δοκοῦσιν εἶναι, καὶ τὴν φρόνησιν ὑψηλοί. — 13. Ὁ Σαμουήλ.) Οὗτος γὰρ ἐκ μήτρας μητρὸς ὢν ἡγιασμένος, καὶ καθιερωμένος Θεῷ, καὶ παῖς ἔτι ὤν, ἐλειτούργει αὐτῷ. Βασιλ. Α΄. α΄. β΄. ἐνταῦθα δὲ εἴληπται τὸ ὄνομα κατ᾽ εἰρωνείαν τῶν, ὡς ἐκεῖνος, εἶναι οἰομένων. — 14. Ῥαββὶ ζητοῦμεν.) Ἀπὸ τοῦ ἐν Εὐαγγελίοις εἴληπται· λέγει γὰρ ὁ Κύριος· Ματθ. κγ΄. 7. Καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββί, ῥαββί. — 15. Καὶ οὐδαμοῦ τὸ γράμμα.) Τοὺς κανόνας οἶμαι λέγειν· τὸν γὰρ χρόνον οὗτοι διαγορεύουσι τῶν εἰς ἱερωσύνην προχειριζομένων, καὶ τὴν γραφὴν τοῦτο θεσπίζουσαν· Τί δ᾽ ἂν φήσοις περὶ Σαμουήλ, καὶ Δανιήλ, οὐχὶ νέοι κριταὶ γερόντων καὶ προφῆται γεγόνασιν; Ἀλλὰ τὰ ὁραθέντα τε καὶ διακριθέντα ὀνείρατα, καὶ αἱ προφητεῖαι ποῦ σοι κείσονται, ἢ λῆρος σοι δοκεῖ ταῦτα, νεότητα μὲν ζηλοῦντι, παρατρέχοντι δὲ τούτων τῆς ἀρετῆς τὸ ὕψος; καὶ τὸ ταῦτα ἐκτιθέμενον γράμμα πνευματικῶς, καὶ ἄλλως ἐννοεῖσθαι ταυτὶ μᾶλλον ἢ κατὰ τὸ γράμμα κελεύεις; Βασιλ. Σχολιαστ. — 16. Τοῦτο.) Ποιοῦσι· ἢ ἄλλο τι οἰκειότερον ῥῆμα ἐννοητέον τῇ ἐννοίᾳ.

§ 23. 2. Τί δέ.) Ποιοῦσι δηλ. — 3. Καταχρίναντες.) Ὁ Ἀντιχρονισμὸς ἵνα σημάνῃ τὸ βέβαιον, εἴληπται. Τὸ δέ γε ἀπῆλθον μετὰ τό, Καὶ διαπτύσαντες, ἐν τῇ συντάξει θετέον· ἵνα μετὰ τὰς μετοχὰς συνδεδεμένας οὔσας ᾖ τὸ ῥῆμα. — 4. Εἰπέ μοι.) Πλατωνικὴ ἡ μεταχείρησις, ἔνθα ἐρωτᾷ καὶ ἀποκρίνεται ὁ αὐτὸς μέγας Γρηγόριος· ὁ γὰρ Πλάτων διαλογικῶς τὰ πάντα διδάσκει τὸν Σωκράτην ὑποτιθέμενος ἐρωτῶντα καὶ ἄλλον τινὰ ἀποκρινόμενον· τὸ δὲ σχῆμα Διαλογισμός. — 5. Τό τε αὐλεῖν.) Ὁ Τε μόνος κείμενος Λατινισμὸν ἐμφαίνει, οὗτοι γὰρ τῷ qus χρῶνται πολλάκις οὕτω. — 6. Καὶ πάντων.) Τὴν σοφίαν μακρῷ ὑψηλοτέραν. Τὴν δὲ ἔκφρασιν ταύτην ἐκ τῶν Δημοσθένους Φιλιππικῶν Γ΄. λέγοντος. Καὶ πάντων, εὖ οἶδ᾽ ὅτι, φησάντων γ᾽ ἄν.

οἶδ' ὅτι φήσουσι, καὶ μέχρι τούτων εἰσὶν εὐγνώμονες. Ἆρ' οὖν ὀρχήσεως μὲν καὶ αὐλήσεώς ἐστι διδασκαλία καὶ μάθησις, καὶ χρόνου πρὸς τοῦτο δεῖ, καὶ ἱδρώτων συχνῶν καὶ πόνων, καὶ μισθοὺς καταβαλεῖν ἔστιν ὅτε, καὶ προσαγωγῶν δεηθῆναι, καὶ ἀποδημῆσαι μακρότερα, καὶ τἄλλα τὰ μὲν ποιῆσαι πάντα, τὰ δὲ παθεῖν, οἷς ἐμπειρία συλλέγεται. Τὴν δὲ σοφίαν, ἣ πᾶσιν ἐπιστατεῖ, καὶ πάντα ἐν ἑαυτῇ τὰ καλὰ συλλαβοῦσα ἔχει, ὡς καὶ τὸν Θεὸν αὐτὸν τοῦτο μᾶλλον ἢ τί ἄλλο χαίρειν ἀκούοντα, ἐπειδὴ καλεῖται πολλοῖς ὀνόμασιν, οὕτω κοῦφόν τι καὶ πεπατημένον πρᾶγμα ὑπολήψομεθα, ὥστε θελῆσαι[7] δεῖν μόνον, καὶ εἶναι σοφόν; Πολλῆς τοῦτο[8] τῆς ἀμαθίας! Ἂν ταῦτα λέγωμεν αὐτοῖς, καὶ κατὰ μικρὸν τὴν πλάνην ἀνακαθαίρωμεν, ἤ τις ἄλλος[9] τῶν εὐμαθεστέρων καὶ συνετωτέρων, τοῦτο ἐκεῖνο[10] κατὰ πετρῶν[11] σπείρειν, καὶ λαλεῖν εἰς ὦτα μὴ ἀκουόντων. Οὕτως οὐδ' αὐτὸ τοῦτο[12] εἰσὶ σοφοί, τὴν ἑαυτῶν γινώσκειν ἀπαιδευσίαν! Καί μοι δοκεῖ καλῶς ἔχειν, τὸ τοῦ Σολομῶντος[13] εἰπεῖν περὶ αὐτῶν. »Ἔστι πονηρία, ἣν εἶδον »ὑπὸ τὸν ἥλιον, ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι.« Καὶ ὃ τούτου πονηρότερον, παιδεύειν ἄλλους πεπιστευμένον, τὸν μηδὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθανόμενον. Τοῦτο δακρύων μὲν καὶ στεναγμῶν, εἴπερ τι ἄλλο πάθος, ἄξιον! ὃ καὶ πολλάκις ἐγὼ κατηλέησα, εὖ εἰδώς, ὅτι τὸ οἴεσθαι τοῦ εἶναι τὸ πλεῖστον ἀφαιρεῖται· καὶ μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον. Ἰάσασθαι δὲ καὶ στῆσαι τὴν νόσον, Πέτρου ἂν εἴη τινός, ἢ Παύλου, τῶν μεγάλων Χριστοῦ μαθητῶν, καὶ μετὰ τῆς ἐν λόγῳ καὶ ἔργῳ κυβερνήσεως εἰληφότων τὸ χάρισμα, καὶ πᾶσι[14] πάντα γινομένων, ἵνα τοὺς πάντας κερδήσωσιν. Ἡμῖν δὲ τοῖς ἄλλοις μέγα κἂν εἰ καλῶς κυβερνοίμεθα, καὶ ἀγοίμεθα πρὸς τῶν ἐπανορθοῦν τὰ τοιαῦτα καὶ διευθύνειν πεπιστευμένων.

§ 24. Ἀλλ' ἐπειδή γε Παύλου καὶ τῶν κατ' ἐκεῖνον ἐμνήσθημεν, ἀφέντες, εἰ δοκεῖ, τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ νομοθεσίαν,[2]

---

μετέφερε. — 7. Ωστε θελῆσαι.) Ὥστε τοῦτο μόνον προσήκει ποιεῖν τὸ θελῆσαι μόνον, καὶ ὁ θελήσας ἔσται σοφός. — 8. Πολλῆς τοῦτο.) Ἐστὶ σημεῖον, ἢ τεκμήριον· ἢ ὡς ἂν ἄλλως εὖ ἔχοι τὰ τῆς ἐννοίας· ἀναγνωστέον δέ τοι ἐν ἤθει· ἵνα ὁ ἐν αὐτῷ νοῦς τῷ σχήματι τῆς φωνῆς καὶ τῷ τρόπῳ τῆς ἀναγνώσεως δηλωθῇ. — 9. Ἤ τις ἄλλος.) Λέγῃ δηλ. καὶ ἀνακαθαίρῃ. — 10. Τοῦτο ἐκεῖνο.) Ἔστα δηλ. ἢ ἀκολουθήσει. — 11. Κατὰ πετρῶν.) Παροιμία ἐπὶ τῶν μάτην πονούντων· ὅτι τὰ οὕτω σπειρόμενα, οὐ τελεσφορεῖται κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν· Ματθ. ιγ΄. 5. — 12. Οὐδ' αὐτὸ τοῦτο.) Τὸ ἐπιγινώσκειν τὴν ἑαυτῶν ἀπαιδευσίαν. — 13. Σολομῶντος.) Ἐκκλησ. ι. 5. Ἡσαΐ. ε, 21. — 14. Καὶ πᾶσι.) Παῦλ. Κορινθ. Α΄. θ΄. 21.

§ 24. 2. Κατὰ νομοθεσίαν.) Κατὰ νομοθεσίαν μὲν προεβλήθη Μωσῆς· οὗτος γὰρ ἐν ὄρει Σινᾷ ἔθετο νόμους τοῖς Ἑβραίοις, παρὰ Θεοῦ λαβών· κατὰ προφητείαν δέ, Ἀαρὼν ὁ ἀδελφὸς Μωϋσέως, ὃς συνὼν τῷ ἀδελφῷ, προεφήτευεν ἐν τῷ λαῷ, ἀρχιερεὺς ὤν· κατὰ στρατηγίαν

ἢ προφητείαν, ἢ στρατηγίαν, ἤ τινα τοιαύτην ἄλλην οἰκονομίαν τοῦ λαοῦ προεβλήθησαν, οἷον τὸν Μωϋσῆν, τὸν Ἀαρὼν ἐκεῖνον, τὸν Ἰησοῦν, τὸν Ἡλίαν, τὸν Ἐλισσαῖον, τοὺς Κριτὰς, τὸν Σαμουὴλ, τὸν Δαβὶδ, τῶν προφητῶν τὸ πλῆθος, τὸν Ἰωάννην, τοὺς δώδεκα μαθητὰς,[3] τοὺς ἐπ' ἐκείνοις ὕστερον, οἳ πολλοῖς ἱδρῶσι καὶ πόνοις διεξῆλθον τὴν προστασίαν κατὰ τοὺς ἑαυτῶν χρόνους ἕκαστοι, τούτους ὑπερβάντες ἅπαντας, Παῦλον προστησώμεθα μόνον τοῦ λόγου συνίστορα. Κἂν τούτῳ θεωρήσωμεν, ὅσον ἐστὶ ἡ ψυχῶν ἐπιμέλεια, καὶ εἰ βραχείας[4] τῆς πραγματείας, ἢ μικρᾶς τῆς συνέσεως. Ὡς ἂν δὲ ῥᾷστα τοῦτο γνοίημεν καὶ κατίδοιμεν, τί Παῦλος αὐτὸς περὶ Παύλου φησὶν ἀκούσωμεν. Ἐῶ λέγειν[5] τοὺς πόνους, τὰς ἀγρυπνίας, τοὺς φόβους, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ ἐν γυμνότητι, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, τοὺς ἔνδοθεν ἀντιπράττοντας. Ἀφίημι τοὺς διωγμοὺς, τὰ συνέδρια, τὰ δεσμωτήρια, τὰ δεσμὰ, τοὺς κατηγόρους, τὰ δικαστήρια, τοὺς καθ' ἡμέραν καὶ ὥραν θανάτους, τὴν σαργάνην,[6] τοὺς λιθασμοὺς, τοὺς ῥαβδισμοὺς, τὴν περίοδον, τοὺς κατὰ γῆν κινδύνους, τοὺς κατὰ θάλασσαν, τὸν βυθὸν, τὰ ναυάγια, κινδύνους ποταμῶν, κινδύνους λῃστῶν, κινδύνους ἐκ γένους, κινδύνους ἐν ψευδαδέλφοις, τὸν ἐκ χειρῶν βίον, τὸ ἀδάπανον Εὐαγγέλιον, ὃς θέατρον ἦν[7] καὶ ἀγγέλοις καὶ ἀνθρώποις· μέσος Θεοῦ καὶ ἀνθρώπων ἱστάμενος· ὑπὲρ μὲν τῶν ἀγωνιζόμενος, τῷ δὲ προσάγων καὶ οἰκειῶν λαὸν περιούσιον, χωρὶς τῶν παρεκτὸς τούτων. Τίς ἂν ἀξίως διέλθοι τὴν καθ' ἡμέραν ἐπιστασίαν, τὴν τῶν καθ' ἕκαστον κηδεμονίαν, τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, τὸ πρὸς πάντας συμπαθὲς καὶ φιλάδελφον; Προσέκοπτέ τις, καὶ Παῦλος ἠσθένει· Καὶ ἄλλος ἐσκανδαλίζετο· καὶ Παῦλος ἦν ὁ φλεγόμενος. Τὸ δὲ τῆς διδασκαλίας[8] φιλόπονον, τὸ δὲ ποικίλον τῆς

---

δὲ ὁ Ἰησοῦς τοῦ Ναυῆ· οὗτος γὰρ παρεστηκὼς ἦν τῷ Μωϋσῇ, ἀρχιστράτηγος ὢν τοῦ λαοῦ. Ἡλίας δὲ καὶ Ἐλισσαῖος, καὶ Σαμουὴλ καὶ Δαβὶδ προφῆται ἦσαν. — 3. Τοὺς δώδεκα μαθητάς.) Δώδεκα ἦσαν οἱ πρῶτοι μαθηταὶ τοῦ Κυρίου· οἷον· Πέτρος, Ἀνδρέας, Ἰάκωβος, Ἰωάννης, Φίλιππος, Βαρθολομαῖος, Ματθαῖος, Θωμᾶς, Ἰάκωβος Ἀλφαίου, Σίμων, ὁ καλούμενος Ζηλωτὴς, Ἰούδας Ἰακώβου, καὶ Ἰούδας Ἰσκαριώτης. Λουκ. ϛ'. 14. τοῦ δὲ Ἰσκαριώτου προδόντος τὸν Κύριον, ὕστερον οἱ λοιποὶ μαθηταὶ προσευξάμενοι, καὶ κλῆρον θέντες, ἔλαχον εἰς συμπλήρωσιν Ματθίαν· Πράξ. ά. 23... 26. Παῦλος δὲ διώκτης ὢν τοῦ κηρύγματος, ὕστερον κληθεὶς, τῶν ἑβδομήκοντα εἷς ἐγένετο. — 4. Καὶ εἰ βραχείας.) Ἐστὶν ἴδιον ἡ ψυχῶν ἐπιμέλεια. — 5. Ἐῶ λέγειν.) Παῦλ. Κορινθ. Β'. ιά. 22. . . 29. καὶ ϛ'. 4. . . . 10. — 6. Τὴν σαργάνην.) Κορινθ. β'. ιά. 32. «Ἐν Δαμασκῷ ὁ »ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρού»ρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με »θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ »ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυ»γον τὰς χεῖρας αὐτοῦ«. — 7. Θέατρον ἦν.) Φησὶ γὰρ ἐν Κορινθ. Α'. δ'. ε. Ὅτι θέατρον ἐγενήθημεν καὶ ἀγγέλοις καὶ ἀνθρώποις. — 8. Τὸ δὲ τῆς διδασκαλίας.) Ἐναλλάττει τοῖς σχήμασι ποικίλων τὸν λόγον· Ἀποδίδοται δὲ ταῦτα πρὸς τὸ, Τούτων τίς ἂν πρὸς [ἀξίαν] διέλθοι· ἡ γὰρ θέσις τῶν ποικίλων σχημάτων τοῦ λόγου πλεονάσασα, μεστὸν τὸν λόγον ἀποτελεῖ· ποικίλουσά τε ἅμα καὶ κατα-

ΕΓΓ.Ζ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θεραπείας· ἡ φιλανθρωπία δὲ, τὸ δὲ αὐστηρὸν πάλιν, ἡ δὲ ἐξ ἀμφοτέρων μίξις καὶ κρᾶσις, ὡς μήτε τῇ χρηστότητι μαλακίζεσθαι, μήτε τραχύνειν τῇ χαλεπότητι, νομοθετεῖ δούλοις καὶ δεσπόταις, ἄρχουσι καὶ ἀρχομένοις, ἀνδράσι καὶ γυναιξὶ, γονεῦσι καὶ τέκνοις, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ, σοφίᾳ καὶ ἀμαθίᾳ, περιτομῇ καὶ ἀκροβυστίᾳ, Χριστῷ καὶ κόσμῳ, σαρκὶ καὶ πνεύματι. Ὑπὲρ μὲν τῶν εὐχαριστεῖ· τῶν δὲ καθάπτεται. Τοὺς μὲν χαρὰν καὶ στέφανον ὀνομάζει· τοῖς δὲ ἄνοιαν ἐγκαλεῖ. Τοῖς μὲν συνοδεύει καὶ συμπροθυμεῖται ὀρθοτομοῦσι, τοὺς δὲ ἀνακόπτει κακῶς ὁδεύοντας. Νῦν ἀφορίζει, νῦν ἀγάπην κυροῖ, νῦν θρηνεῖ, νῦν εὐφραίνεται, νῦν γάλα ποτίζει,[9] νῦν μυστηρίων ἅπτεται, νῦν συγκατέρχεται, νῦν ἑαυτῷ συνυψοῖ, νῦν ῥάβδον[10] ἀπειλεῖ, νῦν προτείνεται πνεῦμα πρᾳότητος, νῦν ἐπαίρεται τοῖς ὑψηλοῖς, νῦν ταπεινοῦται τοῖς ταπεινοῖς. Ἄρτι τῶν Ἀποστόλων ἐστὶν ἐλάχιστος, ἄρτι δοκιμὴν ὑπισχνεῖται τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· ἄρτι τὴν ἐκδημίαν ποθεῖ καὶ σπένδεται· ἄρτι παραμεῖναι τῇ σαρκὶ δι᾽ αὐτοὺς ἀναγκαιότερον δοκιμάζει. Οὐ γὰρ ζητεῖ τὸ ἑαυτοῦ, ζητεῖ δὲ τὸ τῶν τέκνων, οὓς ἐν Χριστῷ[11] διὰ τοῦ Εὐαγγελίου ἐγέννησεν· οὗτος ὅρος πάσης πνευματικῆς προστασίας, πανταχοῦ τὸ καθ᾽ ἑαυτὸν παρορᾷν, πρὸς τὸ τῶν ἄλλων συμφέρον. Ἐγκαυχᾶται ταῖς ἀσθενείαις καὶ ταῖς θλίψεσιν, ὡς ἄλλῳ τινὶ κόσμῳ. Τῇ Ἰησοῦ νεκρώσει[12] ἐγκαλλωπίζεται· Ὑψηλός ἐστι τὰ σαρκικὰ, καὶ τοῖς πνευματικοῖς ἀγάλλεται, οὐκ ἰδιώτης[13] τὴν γνῶσιν, καὶ βλέπειν φησὶ δι᾽ ἐσόπτρου,[14] καὶ ἐν αἰνίγματι· θαῤῥεῖ[15] τῷ πνεύματι, καὶ ὑποπιάζει τὸ σῶμα καθαιρῶν ὡς ἀντίπαλον. Τί διδάσκων ἡμᾶς ἐν τούτοις, καὶ τί παιδεύων, Μὴ φρονεῖν τοῖς κάτω, μὴ φυσιοῦσθαι τῇ γνώσει, μὴ τὴν σάρκα ἐπεγείρειν τῷ πνεύματι. Πάντων ὑπερμαχεῖ, πάντων ὑπερεύχεται, ζηλοῖ πάντας, ἀνάπτεται ὑπὲρ πάντων, τῶν ἔξω νόμου, τῶν ὑπὸ νόμον, κῆρυξ ἐθνῶν, Ἰουδαίων προστάτης.

§ 25. Ἐτόλμησέ τι καὶ μεῖζον ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα, (ἵνα τολμήσωσι τι καὶ αὐτὸς οὕτω λέγων.) ἀν-

---

κοσμοῦσα τὴν φράσιν. Βασ. Σχολ. — 9. Γάλα ποτίζει.) Φησὶ γὰρ Κορινθ. Α'. γ'. 2. »Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· »οὔπω γὰρ ἠδύνασθε.« — 10. Νῦν ῥάβδον.) Κορινθ. Α'. δ'. 21. φησίν. »Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ἡμᾶς, ἢ ἐν »ἀγάπῃ, πνεύματί τε πρᾳότητος;« — 11. Οὓς ἐν Χριστῷ.) Κορινθ. Α'. δ'. 15. φησίν. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. — 12. Τῇ Ἰησοῦ νεκρώσει.) Φησὶ γὰρ ἐν Κορινθ. Β'. δ'. 10. »Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρί»ου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες.« — 13. Οὐκ ἰδιώτης.) Φησὶ γὰρ Κορινθ. Β'. ιά. β. Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει. — 14. Δι᾽ ἐσόπτρου.) Παυλ. Κορινθ. Α'. ιγ'. 12. — 15. Θαῤῥεῖ.) Κορινθ. Α'. θ'. 27.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΙΜΕΛΕΙΑ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

τειταχθῆναι[2] τούτους ἑαυτοῦ Χριστῷ διὰ τὴν ἀγάπην εὔχεται. Ὢ τῆς μεγαλονοίας! ὢ τῆς τοῦ πνεύματος ζέσεως! Μιμεῖται Χριστὸν, τὸν γενόμενον ὑπὲρ ἡμῶν κατάραν,[3] τὸν τὰς ἀσθενείας ἡμῶν ἀναλαβόντα, καὶ τὰς νόσους βαστάσαντα· ἢ τό γε μετριώτερον εἰπεῖν, παθεῖν τι ὑπὲρ αὐτῶν, καὶ ὡς ἀσεβὴς, δέχεται πρῶτος ἀπὸ Χριστοῦ, μόνον εἰ οὗτοι σώζοιντο. Καὶ τί λέγω καθ᾽ ἕκαστον; Ζῶν γάρ[4] οὐχ ἑαυτῷ, Χριστῷ δὲ καὶ τῷ κηρύγματι καὶ τὸν κόσμον ἑαυτῷ σταυρώσας,[5] καὶ σταυρωθεὶς κόσμῳ καὶ τοῖς ὁρωμένοις, πάντα ἡγεῖται μικρὰ, καὶ τῆς ἐπιθυμίας ἐλάττονα, κἂν ἀπὸ Ἱερουσαλὴμ[6] κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πληρώσῃ τὸ Εὐαγγέλιον, κἂν ἐπὶ τὸν τρίτον[7] οὐρανὸν φθάσῃ δι᾽ ἁρπαγῆς, κἂν τοῦ παραδείσου γένηται θεατὴς, κἂν τῶν ἀῤῥήτων ἡμῖν ῥημάτων ἀκροατής. Ταῦτα Παῦλος, καὶ εἴτις κατ᾽ ἐκεῖνον τῷ πνεύματι.

§ 26. Ἡμεῖς δὲ δεδοίκαμεν παρὰ τούτους, μὴ μωροί τινες[2] ὦμεν ἄρχοντες Τάνεως,[3] ἢ πράκτορες καλαμώμενοι, ἢ μακαρίζοντες τὸν λαὸν ψευδῶς· προσθήσω δὲ, καὶ μακαριζόμενοι· καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσοντες. Ἢ ἐμπαῖκται κυριεύοντες· ἢ νεανίσκοι προστάται καὶ ἀτελεῖς τὴν φρόνησιν, μηδ᾽ ὅσον ἄρτου καὶ ἱματίου πρὸς τὸ καθηγεῖσθαι τινῶν εὐποροῦντες· ἢ προφῆται, διδάσκοντες ἄνομα. Ἢ ἄρχοντες ἀπειθοῦντες, καὶ κακῶς ἀκούειν μετὰ τῶν πατρίων ἄξιοι διὰ λιμοῦ σκληρότητα· ἢ ἱερεῖς, τοῦ λαλεῖν εἰς τὴν καρδίαν Ἱερουσαλὴμ πλεῖστον ἀπέχοντες· ἃ δὴ πάντα ὁ τῷ Σεραφὶμ καὶ τῷ ἄνθρακι καθαρθεὶς Ἡσαΐας[4] ὀνειδίζει καλῶς καὶ μαρτύρεται.

§ 27. Ἆρ᾽ οὖν τὸ μὲν ἔργον τοσοῦτον, καὶ οὕτως ἐπίπονον τῇ

---

§ 25. 2. Ἀντειταχθῆναι.) Λέγων. Ῥωμ. θ΄. 2. »Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα »εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν »μου καὶ συγγενῶν μου κατὰ σάρκα.« — 3. Τὸν γενόμενον . . κατάραν.) Παῦλ. Γαλ. γ΄. 13. — 4. Ζῶν γάρ.) Ὡς αὐτὸς λέγει ἐν Γαλ. β΄. 20. — 5. Σταυρώσας.) Ὅ ἐστι τὰ τοῦ κόσμου τούτου πάντα ἀπονεκρώσας· τοῦτο γὰρ βούλεται τὸ σταυροῦσθαι· νεκροῦται γὰρ ὁ σταυρωθεὶς ἀποθνήσκων· οὐδὲν γὰρ ὡς νενεκρωμένος ὁ κόσμος ἴσχυσε πρὸς αὐτόν· ἀλλὰ καὶ αὐτὸς νεκρὸς ἦν τῷ κόσμῳ· ὡς νεκρώσας τὰ ἐπὶ τῆς γῆς· κατ᾽ ἐκεῖνον εἰπεῖν. . . — 6. Ἀπὸ Ἱερουσαλήμ.) Ῥωμ. ιέ. 19. — 7. Ἐπὶ τὸν τρίτον.) Ὑπὲρ ἑαυτοῦ λέγων Παῦλος φησὶ πρὸς Κορινθ. β΄. ιβ΄. . . »Οἶδα ἄν»θρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσ»σάρων, ἁρπαγέντα ἕως τρίτου οὐρα»νοῦ· καὶ οἶδα ὅτι ἡρπάγη εἰς τὸν παρά»δεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, »ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.«

§ 26. 2. Μὴ μωροί τινες.) Πάντα ταῦτα ἐκ τῆς γραφῆς καὶ τῶν θείων χρησμῶν, τὰ μὲν κατακολλῶν αὐτοῖς ῥήμασι, τὰ δὲ παρῳδῶν καὶ περιφράζων, ἐκτίθεται πρὸς τὴν Ἐκκλησίαν καὶ τοὺς ταύτης προεστῶτας αἰχμαλωτίζων ὡς ἄριστα Ἡσαΐας· γ΄. 4. 6. 8. 12. Σχόλ. Βασ. — 3. Ἄρχοντες Τάνεως.) Ἡσαΐ. ιθ΄. 11. λ΄. 4. Ψαλ. οζ΄. 12. 45. — 4. Ἡσαΐας.) Ὃς εἶδε τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον, καὶ ἑξαπτέρυγα Σεραφὶμ κύκλῳ, καὶ φοβηθέντι προσῆλθεν ἓν τῶν Σεραφὶμ, ἄνθρακα ἔχον, καὶ ἁψάμενον τῶν χειλέων αὐτοῦ, περιεκάθηρεν αὐτόν. Ἡσαΐας. ς΄.

αἰσθητικῇ καρδίᾳ καὶ λυπηρᾷ, καὶ οὕτως σῆς ὀστέων[2] τῷγε νοῦν ἔχοντι· μικρὸς δὲ ὁ κίνδυνος, ἢ τὸ πτῶμα εὐκαταφρόνητον; Ἀλλά μοι πολὺν ἐπεντείνεται φόβον, ἔνθεν μὲν ὁ μακάριος Ὠσηὲ[3] πρὸς ἡμᾶς εἶναι τὸ κρίμα λέγων τοὺς ἱερεῖς καὶ τοὺς ἄρχοντας· ὅτι παγὶς ἐγεννήθημεν ἐν τῇ σκοπιᾷ,[4] καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ καταπέπηχθαι ὑπὸ τῶν ἀνθρωπίνας ἀγρευόντων ψυχάς· ἀποθερίζειν τε τοὺς φαύλους ἀπειλῶν προφήτας, καὶ πυρὶ καταναλίσκειν τοὺς κριτὰς αὐτῶν ἐφέξειν τε μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας, ὅτι ἑαυτοῖς ἐβασίλευσαν, ἀλλ᾽ οὐ δι᾽ αὐτοῦ. Ἔνθεν δὲ ὁ θεῖος Μιχαίας, οὐ φέρων οἰκοδομουμένην Σιὼν ἐν αἵμασιν, (ὁποτέροις βούλει[5]·) καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις τῶν ἡγουμένων αὐτῆς μετὰ δώρων κρινόντων, καὶ τῶν ἱερέων μισθοῦ ἀποκρινομένων, καὶ τῶν προφητῶν μετὰ ἀργυρίου μαντευομένων. Ἀνθ᾽ ὧν τί γενήσεσθαι; Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεσθαι, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσεσθαι, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ λογισθήσεσθαι· θρηνῶν τε τὴν ἐρημίαν τῶν κατορθούντων, ὡς μόλις που καλάμην[6] ὑπολείπεσθαι, ἢ ἐκφυλλίδα· Ὁπότε καὶ τὸν ἄρχοντα αἰτεῖν, καὶ τὸν κριτὴν λόγους πρὸς χάριν λαλεῖν· καὶ σχεδὸν τὰ αὐτὰ τῷ μεγάλῳ Δαβὶδ φθεγγόμενος· Σῶσόν με,[7] Κύριε, λέγοντι, ὅτι ἐκλέλοιπεν ὅσιος. Ἐξ οὗ καὶ τὰ ἀγαθὰ ἐπιλήψειν αὐτούς, ὡς ὑπὸ σητὸς δαπανώμενα. Ἰωὴλ δὲ ἡμῖν καὶ θρῆνον διακελεύεται, καὶ κόπτεσθαι βούλεται τοὺς λειτουργοῦντας τῷ θυσιαστηρίῳ· λιμοῦ πιέζοντος· (τοσοῦτον ἀπέχει τρυφᾷν ἐπιτρέπειν ἐν τοῖς τῶν ἄλλων κακοῖς·) καὶ πρὸς τὸ ἁγιάζειν νηστείαν καὶ κηρύσσειν θεραπείαν, συναγαγεῖν πρεσβυτέρους, νήπια, ἡλικίας ἐλεεινάς. Ἔτι καὶ αὐτοὺς τὸ ἱερὸν καταλαβόντας ἐν σποδῷ καὶ σάκκοις, καὶ λίαν ταπεινῶς κατὰ γῆς ἐῤῥιμμένους· διότι τεταλαιπωρήκει πεδία τῇ ἀκαρπίᾳ, καὶ ἐξῆρτο ἐξ οἴκου Κυρίου σπονδὴ καὶ θυσία, ἕλκειν τῇ ταπεινώσει[8]

§ 27. 2. Σὴς ὀστέων.) Ἐκ τῶν Σολομῶντος· Παροιμ. ιδ΄. 30. κέ. 20. — 3. Ὠσηέ.) Κεφ. έ. 1.. 2. ς΄. 5. ζ. 7. ή. 4. 10. — 4. Ἐν τῇ σκοπιᾷ.) Σκοπιὰ τόπος ὑψηλός ἐστιν, ἀφ᾽ οὗ ὡς μηδενὸς ἐπιπροσθοῦντος ἔστιν ἀσφαλῶς ἰδεῖν ἐν ᾧ καὶ σκοπευταὶ καθορῶσιν ἀνιόντες τὰς τῶν πολεμίων ἐφόδους, καὶ καταμηνύουσι τοῖς ὁμοφύλοις· ἀλλ᾽ ἡμεῖς φησὶν οὐχ ὡς σκοπὸς, ἀλλ᾽ ὡς παγὶς ἐκ δικτύου πεπλεγμένου ἐπὶ τὸ Ἰταβύριον, ὅ ἐστιν ὄρος ὑψηλὸν οὐκ εἰς ζώων ἀγρίων ἄγραν, εἰς δὲ ἀνθρωπίνων ψυχῶν κατεπεπήγαμεν· Σχόλ. Βατ. — 5. Ὁποτέροις βούλει.) Αἵμασι δηλ. ψυχικοῖς ἢ καὶ σωματικοῖς· ἑκατέροις γοῦν τούτων οἰκοδομεῖσθαι ἐδόκει ἡ Σιών. Μιχ. γ΄. 10. — 6. Καλάμην.) Μεταφορικῶς ταῦτα ἀπὸ τῶν θεριζόντων καὶ τρυγόντων· Ταῦτα γὰρ καταλείπεται, ἅπερ οἱ πένητες συλλέγουσι, θέρους μὲν τοὺς ἀποπίπτοντας καὶ ὑπερορωμένους στάχυας, τρύγης δὲ, τὰ ὑπὸ τὰ φύλλα διὰ σμικρότητα λανθάνοντα ἢ καὶ ὀμφακίζοντα καὶ ὠμὰ τῶν βοτρύων. Βασ. Μιχ. ζ. 1. — 7. Σῶσόν με.) Ψαλμ. ιά. — 8. Ἕλκειν τῇ ταπεινώσει.) Διὰ τῆς ταπεινώσεως ψυχῆς τε καὶ σώματος τὸν ἔλεον Κυρίου ἕλκειν· καὶ οἷον βίᾳ ἐφέλκεσθαι

τὸν ἔλεον. Τί δαὶ Ἀβακούμ; Οὗτος μὲν καὶ θερμοτέρων ἅπτεται λόγων, καὶ πρὸς αὐτὸν ἀποδυσπετεῖ[9] τὸν Θεὸν, καὶ οἷον καταβοᾷ τοῦ Χριστοῦ δεσπότου, διὰ τὴν τῶν κριτῶν ἀδικίαν. »Ἕως τίνος,[10] »Κύριε, κεκράξομαι, λέγων, καὶ οὐ μὴ εἰσακούσεις; βοήσομαι »πρὸς σὲ ἀδικούμενος· καὶ οὐ σώσεις; Ἵνα τί μοι ἔδειξας κόπους »καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναν- »τίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο »διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα. Εἶτα ἡ »ἀπειλὴ καὶ τὰ ἐπὶ τούτοις· Ἴδετε οἱ καταφρονηταὶ, θαυμάσατε, »καὶ ἴδετε θαυμάσια, καὶ ἀφανίσθητε· διότι ἔργον ἐγὼ ἐργάζομαι.« Καὶ τί χρὴ πάντα ἐπιφέρειν τὰ τῆς ἀπειλῆς· ἀλλὰ μικρὸν ἔμπροσθεν· (τοῦτο γάρ μοι δοκεῖ βέλτιον εἶναι προσθῆναι τοῖς εἰρημένοις.) Πολλοὺς ἀνακαλεσάμενος, καὶ ἀποκλαυσάμενος, τῶν περί τι ἀδίκων καὶ πονηρῶν, τέλος ἀνακαλεῖται καὶ τοὺς τῆς μοχθηρίας ἡγεμόνας καὶ διδασκάλους, ἀνατροπὴν μὲν θολερὰν[11] τὴν κακίαν ἀποκαλῶν, καὶ τοῦ νοῦ μέθην καὶ πλάνην. Ποτίζεσθαι δὲ λέγων τούτοις ὑπ' αὐτῶν τοὺς πλησίον, ὅπως ἐπιβλέπωσιν ἐπὶ τὸ σκότος αὐτῶν τῆς ψυχῆς, καὶ τὰ σπήλαια ἑρπετῶν καὶ θηρίων, λογισμῶν πονηρῶν οἰκητήρια· Οὗτοι μὲν δὴ τοιοῦτοι, καὶ μετὰ τοιούτων ἡμῖν διαλεγόμενοι τῶν παιδευμάτων.

§ 28. Μαλαχίαν[2] δὲ πῶς παριδεῖν, νῦν μὲν ἐγκαλοῦντα πικρῶς τοῖς ἱερεῦσι, καὶ ὀνειδίζοντα, ὡς τὸ ὄνομα Κυρίου φαυλίζουσι· καὶ προστιθέντα ἐν τίσιν· ἐν τῷ προσάγειν πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους,[3] βρώματα οὐ καρπώματα·[4] καὶ ἃ μηδ' ἂν τῶν ἡγουμένων τινὶ προσενέγκοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες· ταῦτα προσφέρειν τῷ βασιλεῖ τῶν ὅλων εὐχὴν εὐξαμένους, χωλὰ καὶ ἄῤῥωστα καὶ διεφθαρμένα, καὶ βέβηλα[5] παντελῶς καὶ ἀπόπτυστα· νῦν δὲ τῆς πρὸς τοὺς Λευΐτας τοῦ Θεοῦ διαθήκης ὑπομιμνήσκοντα,[6] ἡ δὲ ἦν τῆς ζωῆς καὶ τῆς εἰρή-

---

καὶ ἐπισπᾶσθαι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἰωὴλ. ά. 8. — 9. Ἀποδυσπετεῖ.) Δυσχεραίνει καὶ δυσκόλως φέρει καὶ ἐπιπηδᾷ καταβοῶν τε καὶ καταλαλῶν. — 10. Ἕως τίνος.) Ἀβακ. ά. 2... — 11. Ἀνατροπὴν μὲν θολεράν.) Ἀπὸ μεταφορᾶς τῶν ὑγρῶν ὕδατος ἢ οἴνου· τὸ βαρὺ γὰρ ἐν τούτοις καὶ γεῶδες κάτω που ἀθροίζεται, καὶ διαμένει· ἀνατρεπόμενον δὲ, ἀναβάλλοῦται τῶν κάτω ἄνω γινομένων· καὶ λοιπὸν ἄποτον γίνεται μιαινόμενον.

§ 28. 2. Μαλαχίαν.) Κεφ. ά. 6. 7... — 3. Ἄρτους ἠλισγημένους.) Μεμιασμένους δηλ. τοιοῦτο γὰρ τὸ ἀλίσγημα, μίασμά τι ὄν. — 4. Βρώματα οὐ καρπώματα.) Βρώματα μὲν τὰ κοινὰ πᾶσιν εἰς βρῶσιν ἐκκείμενα, καρπώματα δὲ τὰ ἐξαίρετα καὶ τῷ ὅλων Θεῷ μόνον προσφερόμενα εἰς θυσίαν. — 5. Βέβηλα.) Τὰ πᾶσι πατεῖσθαι προκείμενα, ἀπὸ τοῦ βηλοῦ ἢ βατῆρος τὸ γὰρ (Ὅμηρ. Ἰλ. Α. στίχ.)

Ῥίψαι ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο.

Ἀπὸ τῆς φλιᾶς δηλοῖ· ἐκ τούτου οὖν ἀβέβηλα τὰ ἄξια καὶ μὴ πᾶσι βατά. Βατ. Σχόλ. — 6. Ὑπομιμνήσκοντα.)

Ε.Υ. Δ.της Κ.Ε.Π ΙΩΑΝΝΙΝΑ 2006

νης, καὶ φόβῳ φοβεῖσθαι τὸν Κύριον, καὶ ἀπὸ προσώπου τοῦ ὀνόματος αὐτοῦ στέλλεσθαι. »Νόμος, φησὶν,[7] ἦν ἀληθείας ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν ταῖς χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἐξ ἀδικίας· ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. Καὶ ἡ αἰτία ὡς τιμία τε ἅμα καὶ φοβερά! Διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν·« Καὶ παραιτοῦμαι μὲν τῶν ἐπὶ τούτοις ἀρῶν τὸ βλάσφημον, φοβοῦμαι δὲ τὴν ἀλήθειαν. Ἀλλ' ὁ μέτριόν τε εἰπεῖν ἅμα καὶ συμφέρον· »Εἰ ἔτι ἄξιόν,[8] φησιν, ἐπιβλέψαι εἰς θυσίαν ἡμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ἡμῶν.« Ὡς ἂν μάλιστα δυσχεραίνων, καὶ τὴν ἱερουργίαν αὐτῶν διὰ τὴν κακίαν ἀποπεμπόμενος.

§ 29. Ζαχαρίου μὲν γὰρ ὅταν μνησθῶ, φρίσσω τὸ δρέπανον·[2] ὁμοίως καὶ ἃ κατὰ τῶν ἱερέων[3] μαρτύρεται οὗτος. Ἃ μὲν περὶ Ἰησοῦ[4] τοῦ πάνυ ἱερέως τοῦ μεγάλου παραδηλοῖ, ὃν περιδύσας τῷ λόγῳ τὴν ῥυπαρὰν ἐσθῆτα καὶ ἀναξίαν, τὴν ἱερατικὴν καὶ λαμπρὰν περιτίθησιν· ὅσα τε ἄγγελος αὐτῷ λέγων πρὸς τὸν Ἰησοῦν, καὶ ἐπισκήπτων πεποίηται· ταῦτα μὲν ὡς μείζονα καὶ ὑψηλότερα ἴσως, ἢ κατὰ τοὺς πολλοὺς ἱερέας ἀναφερόμενα, σιωπῇ τιμάσθω· πλὴν ὅτι καὶ τούτου[5] ἐκ δεξιῶν ὁ διάβολος εἱστήκει τοῦ ἀντικεῖσθαι αὐτῷ· Πρᾶγμα ἐμοὶ γοῦν οὐ μέτριον, οὐδὲ ὀλίγου φόβου καὶ φυλακῆς ἄξιον. Ἃ δὲ τῶν λοιπῶν κατηγορεῖ ποιμένων ἐπιμελῶς καὶ καθάπτεται, τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος, ὥστε μὴ τρέμειν ἀκούων, καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι μετριώτερος; »Φωνὴ, φησὶ, θρηνούντων[6] ποιμένων·[7] ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν·« Φωνὴ ὠρυομένων λεόντων· ὅτι τάδε πεπόνθασι. Μονονοὺκ ἀκούει τῶν θρήνων, ὡς ἤδη παρόντων, καὶ συνθρηνεῖ τοῖς πάσχουσιν. Ἔτι δὲ μικρὸν ἔμπροσθεν πληκτικώτερον καὶ σφοδρότερον· »Ποιμαίνετέ, φησι, τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμελοῦντο· καὶ οἱ πωλοῦντες αὐτὰ, ἔλεγον· Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς· Διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος παντοκράτωρ. Καὶ πάλιν· Ῥομφαία[8] ἐξεγέρθητε ἐπὶ τοὺς ποι-

---

Κεφ. β'. 4. — 7. Νόμος φησίν.) Μαλαχ. β'. 6. — 8. Εἰ ἔτι ἄξιον.) Μαλαχ. β'. 13.

§ 29. 2. Τὸ δρέπανον.) Κεφ. ε'. — 3. Ἃ κατὰ τῶν ἱερέων.) ζ'. 5. — 4. Περὶ Ἰησοῦ.) Κεφ. γ'. ϛ'. 11. — 5. Καὶ τούτου.) Τοῦ Ἰησοῦ δηλ. Ζαχ. γ'. Καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ· Δηλοῖ δὲ δεξιοῖς τισι δοκοῦσι τρόποις καὶ λογισμοῖς ἀντικεῖσθαι. — 6. Φησὶ, θρηνούντων.) Ζαχ. ιά. 3. — 7. Ποιμένων.)

»μένας, καὶ πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα, »καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας, καὶ ὀργίσθη ὁ θυ»μός μου[9] ἐπὶ τοὺς ποιμένας, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι.« Προστιθεὶς ἤδη τῇ ἀπειλῇ καὶ τοῦ λαοῦ τοὺς προέχοντας· οὕτω φιλοπόνως προσκαθέζεται[10] τῷ λόγῳ· καὶ οὐδὲ ἀπαλλαγῆναι δύναται ῥᾳδίως τῶν ἀπειλῶν. Ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπευκτὸς ὦ, πάντων ἑξῆς μεμνημένος. Ἀλλ᾽ ὁ μὲν Ζαχαρίας οὕτως.

§ 30. Ἵνα δὲ τοὺς ἐν τῷ Δανιὴλ παραδράμωμεν πρεσβυτέρους·[2] καὶ γὰρ παραδράμοιμεν καὶ τὸ τῷ δεσπότῃ περὶ αὐτῶν καλῶς εἰρημένον, καὶ προηγορευμένον. Ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾷν τὸν λαόν. Πῶς οἴσομεν Ἰεζεκιὴλ τὸν τῶν μεγάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ θεαμάτων; Πῶς μὲν ἃ τοῖς σκοποῖς[3] διακελεύεται μὴ κατασιωπᾷν τὴν κακίαν καὶ τὴν ἐπερχομένην ταύτῃ ῥομφαίαν,[4] ὡς οὔτε αὐτοῖς τοῦτο λυσιτελοῦν, οὔτε τοῖς ἁμαρτάνουσι; τοῦ δὲ προϊδέσθαι καὶ προκηρῦξαι ἀμφοτέρους ὀνήσοντος,[5] εἰ οἱ μὲν εἴποιεν, οἱ δὲ ἀκούσαιεν, ἢ πάντως γε τοὺς μηνύσαντας; Πῶς δὲ τὴν ἄλλην καταδρομὴν, ἣν ποιεῖται κατὰ τῶν ποιμαινόντων, »νῦν μὲν ἐν τού»τοις τοῖς ῥήμασιν· οὐαὶ ἐπὶ οὐαὶ[6] ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν· »καὶ ἐκζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ »ἱερέως, καὶ βουλὴ ἐκ πρεσβυτέρων· νῦν δὲ ἐν ἐκείνοις πάλιν. »Υἱὲ ἀνθρώπου,[7] εἰπὸν αὐτῇ· σὺ εἶ γῆ οὐ βρεχομένη, οὐδὲ ὑε»τὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς, ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ »αὐτῆς ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες[8] ἁρπάγματα, ψυχὰς »κατεσθίοντες ἐν δυναστείᾳ. Καὶ μετ᾽ ὀλίγα· οἱ ἱερεῖς[9] αὐτῆς ἠθέ»τουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου· βεβήλοις τε καὶ »ἁγίοις, φησὶν, οὐ διέστελλον, ἀλλὰ πάντα ἦν αὐτοῖς ἕν· καὶ »ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν »καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν.« Συντελεῖν τε[10] τὸν τοῖχον καὶ τοὺς ἀλείφοντας· τὸ δέ ἐστιν· ἁμαρτάνοντα καὶ τοὺς συγκαλύ-

---

Ζαχ. ιά. 4. — 8. Ῥομφαία.) Ζαχ. ιγ΄. 7. — 9. Ὠργίσθη ὁ θυμός μου.) Ζαχ. ί. 3. Σημείωσαι δὲ ὅτι ἀμνοὺς λέγει τοὺς τοῦ λαοῦ προέχοντας — 10. Προσκαθέζεσθαι.) Ἀντὶ τοῦ Ἐνδιατρίβειν τῷ λόγῳ καὶ ἐμφιλοχωρεῖν.

§ 30. 2. Πρεσβυτέρους.) Δανιὴλ ἐν Σωσάννῃ. ά, 2. . . . — 3. Ἃ τοῖς σκοποῖς.) Σκοπὸν γὰρ φησὶ δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ Ἰεζ. γ΄. 17. — 4. Ταύτῃ ῥομφαίαν.) Ἰεζ. . . . ἑ. ς΄. 3. Ἰδοὺ ἐγὼ ἐπάγω ἐφ᾽ ὑμᾶς ῥομφαίαν, καὶ ἐξολοθρευθήσεται τὰ ὑψηλὰ ὑμῶν· καὶ ζ. 15. — 5. Ὀνήσοντος.) Ἀπὸ κοινοῦ τὸ Ὡς ἐννοεῖται· Μετέβαλε δὲ τὸ μετὰ τοῦ Ὡς ἀπόλυτον. — 6. Οὐαὶ ἐπὶ οὐαί.) Ἰεζεκ. ζ΄. 26. — 7. Υἱὲ ἀνθρώπου.) Ἰεζεκ. κβ΄. 24. — 8. Ἁρπάζοντες.) Ψυχὰς κατεσθίοντες ὡς λέοντες ἐν δυναστείαις αὐτῶν. — 9. Οἱ ἱερεῖς.) Ὁ αὐτ. αὐτόθι. 29. — 10. Συντελεῖν τε.) Τροπικῶς λέγει τοὺς ἁμαρτάνοντας καὶ συντελοῦντας καὶ πράττοντας τὰ φαῦλα· καὶ τοὺς συγγινώσκοντας καὶ συγκαλύπτοντας· παρ᾽ ὅσον οἰκοδόμοι ἀποτελοῦσι κτίζοντες τοίχους, ἕτεροι δὲ πηλῷ καὶ τιτάνῳ τὰ πται-

Επ. Δ.Π.Π. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πτοντας, ὅπερ εἶναι τῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραὴλ, κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπαλλοτριωμένας, ἐν τοῖς ἐπιθυμήμασιν αὐτῶν. Καὶ σιωπῶ λέγειν· ὅσα περὶ τῶν βοσκόντων ἑαυτούς,[11] διαλέγεται, τὸ γάλα κατεσθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων· ἀλλὰ μὴ ποιμαινόντων τὰ πρόβατα, τὸ ἠσθενηκὸς οὐκ ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ σπουδὴν ἀπολλύντων· ὡς διεσπάρθαι τὰ πρόβατα κατὰ παντὸς πεδίου καὶ ὄρους παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κατάβρωμα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος· εἶτα τί; »Ζῶ ἐγὼ,[12] φησὶ, λέγει Κύριος, »ἀντὶ τοῦ ταῦτα[13] οὕτως ἔχειν καὶ γενέσθαι τὰ πρόβατά μου εἰς »προνομήν. Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ »πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν·« καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι· οἱ δὲ τὰ καὶ τὰ πείσονται,[14] ἃ τοὺς κακοὺς ποιμένας εἰκός.

§ 31. Ἀλλ᾽ ἵνα μὴ τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος τοὺς προφήτας μακρὸν ἀποτείνω λόγον· ἑνὸς ἐπιμνησθεὶς ἔτι, τοῦ πρὸ τῆς πλάσεως,[2] ἐγνωσμένου, καὶ ἐκ μήτρας ἡγιασμένου, Ἱερεμίας οὗτος, τοὺς λοιποὺς ὑπερβήσομαι. Ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς[3] ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ πρὸς ἀξίαν τὸν Ἰσραήλ· ὀδύρεται οὐχ ἧττον καὶ τῶν προεστώτων τὴν μοχθηρίαν, λέγει δὲ αὐτῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ Θεός. »Οἱ ἱερεῖς[4] οὐκ εἶπαν, ποῦ ἐστι Κύριος· καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου μου, οὐκ ἠπίσταντό με· καὶ οἱ ποιμένες,[5] ἠσέβουν »εἰς ἐμέ. Λέγει δὲ αὐτὸς πάλιν Ποιμένες ἠφρονήσαντο, καὶ τὸν »Κύριον οὐκ ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, »καὶ διεσκορπίσθησαν· Ποιμένες τε, φησὶ, πολλοὶ[6] διέφθειραν τὸν

---

σματα τούτων κρύπτοντες ἐπαλείφουσι. — 11. Ἑαυτούς.) «Ὦ ποιμένες Ἰσραὴλ, »μὴ βόσκουσι ποιμένες ἑαυτοὺς, οὐ τὰ »πρόβατα βόσκουσιν οἱ ποιμένες. Ἰδοὺ »τὸ γάλα κατεσθίετε, καὶ τὰ ἔρια πε»ριβάλλεσθε.» Ἰεζεκιὴλ. λδ΄. 2. 3. — 12. Ζῶ ἐγώ.) Ὁ αὐτ. αὐτόθ. 8. — 13. Ἀντὶ τοῦ ταῦτα.) Ἀνθ᾽ ὧν φησὶ ταῦθ᾽ οὕτως ἔχει καὶ γίνεται. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ τοὺς ποιμένας. — 14. Τὰ καὶ τὰ πείσονται.) Ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ τλ. ὁ αὐτ. λδ΄. 13.

§ 31. 2. Τοῦ πρὸ τῆς πλάσεως.) Ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν. »Πρὸ τοῦ με »πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ »τοῦ σὲ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε »προφήτην εἰς ἔθνη τέθηκά σε.« Ἱερ. ά. 4. 5. — 3. Ὑπὲρ κεφαλῆς.) »Τίς δώσει »κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου »πηγὴν δακρύων· καὶ κλαύσομαι τὸν »λαόν μου ἡμέρας καὶ νυκτός« ὁ αὐτ. θ΄. — 4. Οἱ ἱερεῖς.) Ἱερεμ. β΄. 8. — 5. Ποιμένες) Ὁ αὐτ. ί. 21. — 6. Ποιμένες . . . πολλοί.) Ὁ αὐτ. ιβ΄. 10.

ΙΩΑΝΝΙΝΑ 2006